# 02 IUNIE

# SLUJBA SF.MARE MUCENIC IOAN CEL NOU DE LA SUCEAVA

## MINEIUL-GR


Ο ΑΓΙΟΣ
ΝΕΟΜΑΡΤΥΣ
ΙΩ
ΕΚ ΤΡΑΠΕΖΟΥΝΤΟΣ
www.byzarticon.gr

# Ἀκολουθία Μάρτυρος ΙΩΑΝΝΟΥ Τραπεζοῦντος

+ Ἀλεξανδρείας Νικηφόρου

2 Ἰουνίου

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΛΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μὰρτυσι.

Ταῖς αὐγαῖς ταῖς τοῦ Πνεὺματος, φωτισθείς τήν διὰνοιαν, τὸν Λατῖνον ἤλεγξας ἀνδρικώτατα, ὅτι τό Πνεῦμα τὸ Ἅγιον, ἐκ μὸνου ἐξὲρχεται, ἀϊδίως τοῦ Πατρός, ὡς διδάσκει τὰ δόγματα, τὰ τῆς Πίστεως, ἀλλ' ἐκεῖνος μή φὲρων τὴν αἰσχύνην, ὡς τις ἕτερος Ἰοῦδας, Ἀγαρηνοῖς σέ παρέδωκεν.

Οὐκ ἀρνήσομαι ἔφησας, τὸν Χριστὸν δυσιδαὶμονες, ᾧ ἐγὼ συντὰσσομαι μέχρις αἵματος, ἄν δέ μαθεῖν τοῦτο βούλησθε, λαβόντες με ἅπαντες, διαφόροις αἰκισμοῖς, παραδὸτε ὡς ἔχετε, τῆς δυνὰμεως, καὶ γὰρ χαὶρω ὡς πάσχω δι'ἀγάπην, τοῦ

Χριστοῦ, ὅς μοι παρὲξει, τῆς νίκης ταὐτης τόν στὲφανον.

Ἐκτελὲσας τὸν δρόμον σου, καί Θεῷ παριστάμενος, ἔσχες τά αἰτὴματα μεγαλώνυμε· ὅθεν σου μὰκαρ δεόμεθα, πρεσβεὐειν ἑκάστοτε, ἐκπεράσαι εὐχερῶς, τὰ πελάγη τῶν θλὶψεων, διασὼσαντες, ἥν ἐλὰβομεν Πίστιν ἀθλοφόρε, ἀκηλιδωτον ἁπάσης, ἐπερχομένης αἱρὲσεως.

Ἕτερα. Ἦχος α'. Πανεὺφημοι Μὰρτυρες.

Πανεὺφημε Μὰρτυς τοῦ Χριστοῦ, ἀθλητὰ στεῤῥότατε, Χριστιανῶν καταφύγιον, Χριστοῦ ὀσφράδιον, ὁ πρὶν κατησχὺνας, ἀσεβεῖς πιστεὐοντας, καὶ μὴ θεολογοῦντας τὸν Κὐριον, τὸν τρισυπόστατον, ἐν τρισίν προσὼποις προσκυνούμενον, Θεὸν εἶναι πλήν οὐ μονοπρόσωπον.

Θεός μονοπρόσωπος οὐκ ἦν, οὐδὲ ἔσται πώποτε, ἀλλ'ἐν Τριὰδι ὑμνοὺμενος, καὶ λατρευόμενος, αἰσχυνέσθῳ ἄφρων, Ἰουδαίων σύλλογος, καὶ οἱ περὶ αὐτὸν ματαιόφρονες, καὶ νῦν ἀντίχριστοι, βλασφημοῦντες ὡς ἀντίθεοι, Θεὸν εἶναι, πλὴν οὐ τρισυπόστατον.

Πατὴρ ὁ ἀγὲννητος Θεὸς, γεννητός συνὰναρχος, ἐκ τοῦ Πατρός προερχὸμενος, Υἱὸς καὶ Κύριος, τοῦ Πατρὸς τὸ Πνεῦμα, πεφυκὼς ἀΐδιον, ἐξ οὗ καὶ τὴν ἐκπὸρευσιν ἔσχηκε, τὴν προαιώνιον, ἥν ἐκήρυξεν ὁ Ἅγιος, παῤῥησίᾳ, ὡς Πνευματοδίδακτος.

Δόξα. Ἦχος πλ. α'.

Ὡς ἀληθῶς τὸν πολὺτιμον μαργαρίτην ἐμπορευσὰμενος, τὴν ψυχὴν σου εἰς περιποίησιν ἔδωκας τρισμὰκαρ, χαίρων ὡς τραπεζίτης τῆς Τραπεζοῦντος ὁ μέγιστος πολίτης, καὶ τῆς ἄνω Μυσίας ὁ ἀντιλήπτωρ· διὸ νῦν εὗρες μισθόν τῶν καμὰτων σου, βασιλείαν τήν διαιωνίζουσαν, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ στεφανοῦντος ὑμᾶς τοὺς ἀθλὴσαντας ὑπὲρ εὐσεβείας καὶ πίστεως, μέχρις αἵματος, ἀθλητά παναοίδιμε.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. μγ΄ 9-14).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; Ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος.

Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ΄ 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε΄ 15 - στ΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν παρὰ Ὑψίστου. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ Αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ’ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Χρεωστικῶς ἐκτελοῦμεν τὴν μνήμην σου, Ἰωάννη πανένδοξε· καὶ γὰρ ὤφθης ἀκραιφνὴς στρατιώτης τοῦ Λόγου τῆς πίστεως, φαυλὴσας ἐν τῷ σκὰματι τοῦ μαρτυρίου, τὴν δεισιδαίμονα μορφήν τῆς ἀσεβείας, νικητής τε ἀπεφάνθης ἀήττητος· διό αἰτοῦμεν σε, οἱ τιμῶντες τὴν μνὴμην σου, ῥυσθῆναι πειρασμῶν, καὶ πὰσης κακώσεως.

Ἦχος β΄.

Τοῦ ἀθλητοῦ Ἰωάννου ἡ μνήμη, ὡς μήρον ἐκκενούμενον, σήμερον ἀνὲτειλεν, ἐν τῇ πὸλει Σουτσεάβας, τούς πιστούς σελαγίζουσα τοῖς θαὺμασι, διό καί χαίρει κατέχουσα, θησαυρόν ἀκὲνωτον τό πολύαθλον δὲμας αὐτοῦ.

Ὁ αὐτός.

Εὐμαρεῖ Μαρτύρων καὶ ὁ νῦν αἰών, ὁ λεγόμενος ὄγδοος· ἰδού καί ὁ χαριτώνυμος Ἰωάννης, ὑπὲρ Χριστοῦ ἀφειδῶν ἠγωνίσατο, μονομαχὴσας τῷ νέῳ λύκῳ ἐν μέσῳ τοῦ σκὰμματος γενναιὸτατα, καὶ ὡς ἄλλος ἀνδρεῖος Δαβίδ, ἐκσφενδονὴσας τὸν λίθον τοῦ Πνεύματος, καιρὶως πλήξας, κατὲβαλε τὸν ἀλαζόνα Γολιὰθ, καὶ τὴν ἀντὶπαλον κεφαλὴν πατὰξας τῷ οἴκοθεν ξίφει, ἐλαιμοτόμησεν ἐν πᾶσιν ἐκεῖνοις ὡς τρόπαιον· καὶ νῦν ἀγαλλὸμενος, νενίκηκα φησὶ τοὺς ἐχθρούς τῇ δυνάμει τοῦ σταυρωθὲντος Χριστοῦ, τῷ ἐμῷ ἐμβὰψας αἵματι τοῦ σταυροῦ τὸν κὰλαμον, ἐρυθροῖς ἐπὲγραψα γρὰμμασι· Χριστιανῶν ἡ νὶκη καὶ

ὁ στὲφανος ὁ ἀμαρὰντινος, τοῖς ἠγωνισμὲνοις ὑπὲρ τῆς πίστεως.

Δὸξα. Καί νῦν. Ἦχος πλ. δ΄.

Ἀθλητικήν ἀνδρείαν εὐσεβῶς καθοπλησθείς, ἀθλοφὸρε τοῦ Χριστοῦ, καί λογικήν λατρείαν μυστικῶς ἐκτελῶν, τῇ δυνὰμει Αὐτοῦ ᾔσχυνας γλωσσαλγίαν αἱρετικῶν, καὶ ἀπὴνειαν Ὀθωμανικῆς τυραννίδος, εἰς οὐδὲν ἐλογίσω· διὸ θῦμα εὐπρόσδεκτον καί ὁλόκληρον ἱερεῖον, τῷ τυθέντι διά σὲ προσαχθεὶς, εἴληφας τούς στεφάνους τῆς νίκης, Ἰωάννη πανένδοξε, καὶ τῆς ἄνω ὁμηγύρεως τῶν Μαρτύρων συνήφθης, πρεσβεύων ὑπὲρ τῶν τιμώντων σε.

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαὶροις ἀσκητικῶν.

Χαὶροις ἡ τῶν Μαρτύρων κρηπίς, τῶν Μολδοβλὰχων θησαυρός ὁ ἀσύλητος, ὁ στύλος τῆς εὐσεβεὶας, ἐν τοῖς ἐσχὰτοις καιροῖς, καὶ τῶν λυπουμὲνων ἡ παρὰκλησις· Σουτσάβας ὁ πρὸμαχος, κρατερὸς καὶ ἀνίκητος, τῶν ἀῤῥωστούντων, ἰατρός ὁ πανάριστος, τὸ ἀείζωον, ἐκμαγεῖον τοῦ Πνεύματος, χὰριν ἀπομαξὰμενον, δι’ἧς τοὺς προστρέχοντας, τῷ ἱερῷ σου καί θείῳ, οἴκῳ φωτίζεις μακὰριε, παρέχων πλουσίως, ἱλασμόν καὶ σωτηρίαν, ταῖς σαῖς δεήσεσιν.

Στ. *Δίκαιος ὡς φοίνιξ ἀνθήσει και ὡσεί κέδρος ἡ ἐν ταῷ Λιβάνῳ πληθυνθήσεται.*

Χαὶροις τῶν δεομὲνων πηγή, καὶ τῶν νοσοὺντων ἀκεσὼδυνον φὰρμακον, ἁπὰντων τῶν θλιβομὲνων, τοῖς

ἐκ τοῦ βίου δεινοῖς, χαρμονή δαιμόνων ἡ κατὰπτωσις· Χριστοῦ ὁ ἀρὰμενος, τὸν σταυρὸν καὶ στεψὰμενος, τὴν Ἐκκλησίαν, ταῖς βαφαῖς τῶν αἱμὰτων σου, ὁ τὴν δύναμιν, εὐμαρῶς τροπωσὰμενος, πᾶσαν τοῦ πολεμήτορος, καὶ τοὺτου πανόλβιε, καταπατήσας ἀνδρείως τὰ μηχανήματα ἅπαντα· Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μὲγα ἔλεος.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαὶροις Ἀγαρηνῶν ὁ δεινὸς, καὶ τῶν Λατὶνων μεγαλὸφωνος ἔλεγχος, τὸ ἄνθος τῆς Τραπεζοῦντος, ἡ Μολδοβλὰχων χαρὰ, ὁ καταβυθὶσας τόν ἀλάστορα, ῥοαῖς τῶν αἱμὰτων σου, ὁ φωτὶσας τὰ σύμπαντα, ταῖς σαῖς ἀκτίσι, ὁ πολλῶν λυτρωσὰμενος, ὡς ὑπὲρμαχος δυσμενῶν τοὺς προστρέχοντας, πάντας καὶ ἱκετεύοντας, τυχεῖν παρακλήσεως, διὸ σε Μὰρτυς αἰτοῦμεν, τοῦ Παραδεὶσου οἰκήτορας, ἡμᾶς ἀξιῶσαι, τοὺς γεραὶροντας προθύμως, τὴν θεὶαν μνὴμην σου.

Δὸξα. Ἦχος β΄.

Προφητικῶς τρισμὰκαρ, ὁ τῶν θαυμὰτων σου φθὸγγος, τοῦ κὸσμου πὰντα ἐξῆλθε τά πὲρατα, καταβροντήσας δέ καὶ τὰ ὦτα τοῦ εὐσεβοῦς Μολδοβλάχων ἡγεμόνος, σπουδῇ πάσῃ ὡς κειμήλιον πολὺτιμον, ἀπὸ Λευκῆς πόλεως, ἀναλώμασιν ἀπείροις, καὶ πομπαῖς ἐνθέοις, είς τὴν ἰδὶαν αὐτοῦ πὸλιν μετεκόμισε τὸ ἔνθεον σῶμα σου· ὅ προσκυνοῦντες καθ’ἑκὰστην πηγὰς ἰαμάτων

ἀρυὸμεθα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Λαμπρὰ σου τὰ θαύματα, εἰδὸτες πὰντες ἡμεῖς, λαμπρῶς σε ἑορτὰζομεν ἐκδιηγούμενοι, τήν πίστιν τὰ ἔπαθλα, ἅπερ δὴ ὑπομὲνεις, ὑπ' ἀθὲων τυρὰννων, πᾶσι μεγαλοφώνως, τὸν Χριστὸν σου κηρύττων· διὸ σὲ Ἰωὰννη πὰντες αἰνοῦμεν, ὡς ὄντως φίλον Χριστοῦ.

Καί νῦν. Θεοτοκίον.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κὰθισμα. Ἦχος γ'. Θεὶας πὶστεως.

Μὲγα καύχημα, τούς σοὺς ἀγῶνας, οὕς ὑπέμεινας ὑπὲρ ἀγάπης, Χριστοῦ μὴ δειλιὰσας κατὲχομεν, ὡμολογήσας Αὐτὸν κατενώπιον, τῶν δυσσεβῶν Ἰωὰννη μακὰριε· ὅθεν ἔνδοξε Αὐτὸν ὡς ἀγαθὸν ἱκὲτευε, δωρήσασθαι ἡμῖν τὸ μὲγα ἔλεος.

Δὸξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κὰθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφὶαν καὶ Λὸγον.

Ἀριστεύσας ἀνδρείως κατὰ παθῶν, τοῦ σοῦ πὸνου ἐκτὴσω τὰς ἀμειβὰς, πηγάζειν ἰὰματα, Ἰωάννη μακάριε, καὶ τοὺς βοῶντας πόθῳ ὁμοῦ τε καί δὰκρυσι, πολλῶν περιστάσεων, ἀεί ἀπαλλάττεσθαι· ὅθεν ἡμεῖς μὰκαρ, σοὶ προσπίπτωμεν πὰντες, ῥυσθῆναι τῶν θλὶψεων, ἐκ καρδὶας δεόμενοι· πρὲσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμὰτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνὴμην σου.

Δὸξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Μετὰ τὸν Πολυὲλεον, Κὰθισμα. Ἦχος α΄. Τὸν τὰφον Σου, Σωτὴρ.

Τά θαύματα τὰ σὰ, εὐφημῆσαι ἐνδόξως, ἠθροὶσθημεν σοφὲ, ἀλλὰ πὰρεξον λόγον, ἀξίως τῶν ἀγὼνων σου, προσκομίσαι τὸν ἔπαινον, ὅν σοι πλὲκουσι, καὶ τῶν Ἀγγὲλων χορεῖαι, τὴν πανέορτον, μνὴμην τὴν σὴν ἐκτελοῦσαι, ἥν πὰντες ἑορτάζομεν.

Δὸξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Οἱ Ἀναβαθμοί· τό α’ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκεὶμενον. *Δὶκαιος ὡς φοίνιξ ἀνθήσει καί ὡσεί κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ. *Πεφυτευμὲνος ἐν τῷ οἴκῳ Κυρὶου, ἐν ταῖς αὐλαῖς Αὐτοῦ ἐξανθήσει.*

Εὐαγγὲλιον Μαρτυρικόν.

Ὁ Ν΄ Ψαλμός.

Δὸξα. Ταῖς τοῦ Ἀθλοφὸρου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτὸκου…

Ἰδιὸμελον. Ἦχος β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός…*

Προφητικῶς τρισμὰκαρ, ὁ τῶν θαυμὰτων σου φθόγγος, τοῦ κὸσμου πὰντα ἐξῆλθε τά πὲρατα, καταβροντήσας δέ καὶ τὰ ὦτα τοῦ εὐσεβοῦς Μολδοβλάχων ἡγεμόνος, σπουδῇ πᾶσῃ ὡς κειμήλιον πολὺτιμον, ἀπὸ Λευκῆς πόλεως, ἀναλώμασιν ἀπείροις, καὶ πομπαῖς ἐνθέοις, εἰς τὴν ἰδὶαν αὐτοῦ πὸλιν μετεκόμισε τὸ ἔνθεον σῶμα σου· ὅ προσκυνοῦντες καθ'ἑκὰστην πηγὰς ἰαμάτων ἀρυὸμεθα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Εἶτα οἱ Κανόνες· τῆς ἑορτῆς καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Λόγοις σε κλεινοῖς δεῖ Ἰωάννην μέλπειν.*

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τό στὸμα μου.

Λαμπροῖς ἔδει σὴμερον, κεκοσμημένους χαρίσμασι, καὶ ἄσματα εὔηχα κοσμῆσαι ἔχοντας, νῦν παρὲσεσθαι, ὑμνῆσαι κατ'ἀξὶαν, τὸν μεγαλοκὴρυκα τοῦ Παντοκρὰτορος.

Ὁ τὺραννος ἔφριξε, τὸ θαρσαλαῖον σου φρόνημα, καὶ πὸθον ὅν ἔσχηκας λαβεῖ τὸν στὲφανον, καὶ ἐβὸησεν, οὗτος ἐστὶν ἐκ λίθου, διὸ πῦρ καὶ βὲλεμνα, οὐδὸλως δὲδοικεν.

Γηθὸμενος ἔτρεχες, ὦ Ἰωὰννη τὸ στάδιον, τὰς κὸσμου ἡδύτητας εἰς νοῦν μή θὲμενος, καὶ συρὸμενος Χριστὸν τὸν Βασιλὲα, πιστεύω ἐκραύγαζες, γὶνωσκε τὺραννε.

Θεοτοκίον.

Ὅρους ὑπερβέβηκας, ὅσους βροτοί ἐπιστάμεθα· καὶ γὰρ μὸνη τὲτοκας, μείνασα ἄφθορος, τόν Φιλὰνθρωπον, υἱὸν Πατρὸς ἀνὰρχου, Ὅν μόνον θεάσασθαι, τρὲμουσιν Ἄγγελοι.

Ὠδή γ΄. Τοὺς Σοὺς ὑμνολόγους.

Ἴσον τὸν Υἱὸν Πατρὶ κηρὺξας, καὶ Πνεῦμα τὸ Ἅγιον σαφῶς, Υἱῷ συνδοξαζὸμενον, εἰ καὶ τὸν τρὸπον κὲκτηται, τῆς θείας ἐκπορεύσεως, ἐκ τοῦ Πατρὸς μὸνον πὰνσοφε.

Συρὸμενος ἔχαιρες παμμάκαρ, τὴν πᾶσαν ἐλπίδα πρός Θεὸν, ἔχων τὸν στεφανοῦντα σε, Ὅν καί φαιδρῶς ἐκήρυξας, Ἀγαρηνῶν σκοτόμαιναν, ἐκμυκτηρὶσας πανεύφημε.

Ἰωὰννην ἅπαντες συμφὼνως, αἰνὲσωμεν σὴμερον πιστοί, ὅν περ Θεὸς ἐδὸξασε, παρὲχων πᾶσιν ἴασιν, τοῖς προσιοῦσι δὰκρυσι, τῇ μυροθήκη τοῦ σώματος.

Θεοτοκίον.

Κὸρη τά μνημὸσυνα τελοῦντες, τοῦ θείου Σουτσάβας ἀῤῥωγοῦ, ὡς τὸν Θεὸν κυήσασα, Λόγον Πατρός ὑπὰρχοντα, λὸγον εἰπεῖν ἐπὰξιον, τῷ Ἀθλοφόρῳ ἀξίωσον.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Τὴν ἅμαξαν πιστοί, εἰ καὶ ἔκειτο ἄπνους, διΐθυνεν ὡς ζῶν, Ἰωάννης ὁ Μέγας, ἥνπερ ἔνθα προέβλεπε, σῶμα θεῖναι τό τίμιον, φέρει ἅπαντας, ὅθεν ἐκπλῆττον τὸ θαῦμα, καὶ κραυγάζουσι, δὸξα τῷ μὸνῳ Δυνὰστῃ, τῷ ταῦτα τελὲσαντι.

Δὸξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Ὠδή δ΄. Τὴν ἀνεξιχνίαστον.

Λὴρους τὰ φρυὰγματα Ἀγαρηνῶν, ἔδειξας παλαίσας λαμπρότατα, οὕς καταπτύξας ἄνεβόας τῷ Χριστῷ, οὐ ποτε Σέ ἀρνήσομαι, μὰλα χαὶρω γὰρ μαστιζὸμενος

Ἐθαύμαζον βλὲποντες μαρμαρυγάς, τῇ νυκτί ἐκείνῃ οἱ δὴμιοι, καὶ τῶν Ἀγγὲλων τὴν πανύχιον χαρὰν καὶ ἔνδοθεν τηκὸμενοι, πάσῃ τῇ νυκτί πὰντες ἔτρεμον.

Ἴασιν λαμβάνουσιν οἱ εὐσεβῶς, μὰκαρ προσιόντες τῷ οἴκῳ σου, ὅσα γὰρ θὲλεις ἐκτελεῖς παρὰ Θεοῦ ἔχων τὸ κρὰτος πάνσοφε, Ὅν ὑπὲρ ἡμῶν ἐκδυσώπησον.

Θεοτοκίον.

Ναὸς ἐχρημάτισας κόρη Θεοῦ, τὲξασα τὸν Κτίστην τὸν ἴδιον, τὸν πρὸ αἰώνων γεννηθέντα ἐκ Πατρός, Ὅν Πὰναγνε ἱκὲτευε, πειρασμῶν ῥυσθῆναι τοὺς δούλους Σου.

Ὠδή ε΄. Ἐξέστη τά σύμπαντα.

Ὁ λὸγος σου ἅλατι, ὦ Ἰωὰννη ἤρτυται, ὡς τοῦ Θεανθρώπου θείοι λόγοι, μὲτρια μὰκαρ, λαλεῖν διδὰσκουσιν· ὅθεν σου ταῖς θεὶαις διδαχαῖς, δαιμὸνων ἐμὰρανας, τὰ φρυὰγματα πάνσοφε.

Ἰθὺνας τὴν ἅμαξαν, ὅπου σοφὲ ἠθέλησας, πάντας καταπλήττεις τούς ὁρῶντας, πῶς γὰρ ὁ ἄπνους, ἔργον τετὲλεκας, ὄντως ὑπὲρ ἄνθρωπον τὰ σὰ, πὲλει διηγήματα, Ἰωάννη πανὸλβιε.

Σῶμα σὸν μή ἔχοντα, τοσαῦτα πλήθη ἄρασθαι, θαῦμα μὲγα εἶχον πῶς ὁ ἄπνους, ὄντως ὑπὰρχει δή κρατερὼτερος, ὅθεν ἀμελήσαντα αὐτῶν, εἴασαν σε πὰνσοφε, ὅπου θέλεις πορεὺεσθαι.

Θεοτοκίον.

Δοχεῖον πανὲντιμον, Σέ Παναγὶα ἔγνωμεν, δρὸσον τε βαστὰσασαν τὸ μὲλί, ἄρτον Ἀγγὲλων Χριστὸν τόν Κύριον· πὰντως ἅπας νοῦς ἰλιγγιᾶ Κόρη πῶς ἐχὼρησας, ἐννοῆσαι τὸν Κὺριον.

Ὠδή στ΄. Τὴν θείαν ταὺτην.

Ἐφὰνη νῦν ὦ φιλέορτοι, ἡ μνὴμη Ἰωάννου τοῦ Μὰρτυρος, ἀρωματίζουσα, τῶν εὐσεβῶν τὰ συστήματα, διὸ αὐτὸν ἐν ὕμνοις δεῦτε τιμήσωμεν.

Ἰδεῖν νῦν μὰκαρ ἠξίωσαι, τὴν δόξαν τοῦ Θεοῦ ἥν ἐκήρυττες, μὲσον ἱστὰμενος, Ἀγαρηνῶν πανσεβάσμιε, ὧν τὴν θρησκεὶαν πᾶσαν ἤλεγξας ἄριστα.

Ἰδοὺ σοι μὰκαρ προσπίπτομεν, οἱ δοῦλοι σου θερμῶς ἐκβοῶντες σοι, σῶσον πανεὺφημε, καὶ γὰρ

δαιμόνων γεγὸναμεν, παρατραπὲντες λὸγου, Πνεὺματος παὶγνιον.

Θεοτοκίον.

Ὡράθης Κόρη παλάτιον, Χριστὸν τὸν Βασιλὲα χωρήσασα, Ὅνπερ τὰ σύμπαντα, πὰντα χωρῆσαι οὐ δὺνανται, διὸ ἐκπλήττει πάντας, τά Σά τερὰστια.

Κοντὰκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τοὺς λαμπρούς ἀγῶνας σου ἀνευφηγμοῦντες, ἐκ Θεοῦ λαμβάνομεν, τὰς ἀντιδόσεις φαεινὲ, καὶ γάρ λαμπρὺνεις τοὺς ψὰλλοντας, ὦ Ἰωάννη Μαρτύρων τό καύχημα.

Ἕτερον. Ὁ αὐτός. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν στρατιώτην τοῦ Χριστοῦ τὸν γενναῖον, τὸν καθελόντα τοῦ ἐχθροῦ τὰς ἐπάρσεις, καὶ τοῖς ποσὶ πατήσαντα αὐτοῦ τὰς μηχανάς, Ἰωάννην ἅπαντες, εὐφημήσωμεν ὕμνοις· οὗτος γὰρ ἐνώπιον, τῶν τυράννων κηρύξας, τὸν Ἰησοῦν Θεόν τε καὶ βροτόν, νίκης βραβείοις, ἐστέφθη ὡς ἔνδοξος.

Ὁ Οἶκος.

Ὑπερφυῆς ὡς ἀληθῶς, καὶ θείας δόξης πλήρη, τὰ τοῖς φιλοῦσι τὸν Χριστὸν ἐσθλὰ ἐπαγγελθέντα, ὧν αἴσθησις ἀδυνατεῖ ὅλως ἀντιλαβέσθαι, ἢ νοῦς ὡς ἐν εἰκόνι ἀνατυπώσασθαι, μόνον δὲ ἐνηχηθέντα τοῖς θείοις Μάρτυσιν, ἔρωτας θαυμασίους ἐν ταῖς καρδίαις αὐτῶν ἀποτίκτουσι, δι᾽ οὑς πρὸς τὰ ἐκεῖθεν κάλλη

ἐπτοημένοι, τῶν ὧδε χωρισθῆναι σπουδάζουσι, πατρίδα καὶ συγγενεῖς καὶ πλοῦτον, καὶ πᾶν τὸ ἀνθέλκον εἰς οὐδὲν λογιζόμενοι. Ὧν εἷς ἐστι καὶ Ἰωάννης ὁ χαριτώνυμος, ὁ πάντα ὡς σκύμβαλα ἡγησάμενος, ἵνα Χριστὸν κερδίσῃ. Διὸ κηρύξας τρανῶς ἐνώπιον τῶν τυράννων, τὸν Ἰησοῦν Θεὸν ἀληθινόν, νίκης βραβείοις δικαίως κατέστεπται.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ (ἤ τῇ 2ᾳ τοῦ αὐτοῦ μηνός), μνήμη τοῦ Ἁγίου Νεομάρτυρος Ἰωάννου τοῦ Τραπεζουντίου, τοῦ ἐν Σουτσεάβα τῆς Μολδαβίας.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Ἀγαπήσας, ἀκλινῶς Θεὸν τὸν Κτίστην σου, Μάρτυς ἀνὲδραμες, πρὸς αἰωνίους μονὰς, Μωάμεθ ἀσέβειαν ἐλέγχων ἔψαλλες· Ὑπερύμνητε, ὁ τῶν Πατὲρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Νουθετῶν τε, καὶ διδὰσκων πανσεβὰσμιε, φεύγειν θρησκεύματα, Ἀγαρηνῶν ὡς μωρὰ, ἐβόας τῷ Κτίστῃ σου χαὶρων μακὰριε· Ὑπερύμνητε, ὁ τῶν Πατὲρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Νουνεχῶς, ὦ Ἰωὰννη τροπωσὰμενος, τὰ μηχανήματα, σατανικὰ σεαυτὸν, προσφέρων τῷ Κτίστῃ σου, ἀγὰλλων ἔψαλλες· Ὑπερύμνητε, ὁ τῶν Πατὲρων Κύριος, καὶ Θεὸς εὐλογητός εἶ.

Θεοτοκίον.

Ἡ χαρὰ, τῶν θλιβομένων Θεονύμφευτε, χαρὰν παράσχου μοι, ὡς τοῦ παντὸς Ποιητήν, γεννήσασα Ἄφθορε, ἵνα κραυγάζω Σοι· Ἀειπάρθενε, εὐλογημὲνος πὲφυκεν, ὁ καρπός τῆς Σῆς κοιλίας.

Ὠδή η΄. Παῖδας εὐαγεῖς.

Νόμῳ ἀληθῶς μὰκαρ ἐδείχθης, τοῦ κόσμου τὴν φαινομὲνην βδελυξὰμενος, ἡδονήν καὶ ἔτρεχες, πὰνσοφε ὑπόπτερος, πρὸς τὸν Σωτῆρα Κύριον, ᾧ παριστὰμενος, μὴ παὺσειν ἱκετεύειν τρισμὰκαρ, τοῦ ἡμᾶς ῥυσθῆναι, κακῶν ἐπερχομένων.

Μὸνος ἐν τοῖς νῦν σύ ἐνεδείξω, Μωὰμεθ, ὦ Ἰωὰννη τὰ θρησκεύματα, λὴρους καὶ φρυὰγματα, μὴ ἐκδειματούμενος, τὰς ἀπειλὰς καὶ φὸβητρα, ἅ σοὶ ὁ τύραννος, ἐδείκνυε νομίζων σαλεῦσαι, τὸ στεῤῥόν τρισμὰκαρ, καὶ σταθερόν τοῦ τρόπου.

Ἔκθαμβος ἰδὼν τῶν ὀνειράτων, τρισμὰκαρ, ὁ Ἱερεύς σφὸδρα ἐγένετο, ἄλλως τὴν ἀπόβασιν, εὑρεῖν γὰρ ἐνόμιζεν, ἄνδρας ληστάς τε κλὲπτοντας, ὡς δέ ἐὼρακεν, ὀρύττοντα Λατῖνον ἠρῶτα, τὶ δηλοῖ ὁ λὰκκος, ὅν σκὰπτεις νῦν εἰπέ μοι.

Θεοτοκίον.

Λύσιν τῶν πολλῶν ἀμπλακημὰτων, τὸ μῆλον Παρθενομῆτορ ἐπεγνὼκαμεν, ὥριμον ὅ ἔτεκες, εἰς πὰντων ἀνὰκλησιν, διὸ συμφώνως ἅπαντες εἰκότως ψάλλομεν· πανύμνητε Παρθὲνε Μαρία, Σὺ βροτῶν ὑπὰρχεις, ἁπὰντων σωτηρία.

Ὠδὴ θ΄. Ἅπας γηγενὴς.

Πὰντες οἱ πιστοὶ, ὑμνοῦμεν μακὰριε συνεορτάζοντες, τὰ σεπτὰ παλαὶσματα, καὶ πὸνους πλείστους οὕς ὑπὲφερες, ὑπὲρ Χριστοῦ τοῦ Κτίστου σου, μή ἐξομόσασθαι καί βοῶμεν μὰκαρ ταῖς πρεσβείαις σου, πειρασμῶν πολυτρὸπων ἐκλύτρωσαι.

Ἔχει τῶν Μυσῶν, ἡ γῆ αὕτη ἄσυλον καὶ μεγαλὼνυμον, θησαυρὸν κατέχουσα, σοῦ Ἰωὰννη τὸ θεῖον λείψανον, ἐπιδρομὰς ἀπείρους τε ἀποβαλλόμενον, κατακλεῖσαν καί Πολωνῶν στρατεύματα, ἀπειλούντων λυμᾶναι τὴν πόλιν σου.

Ἴδε σε νεκρὸν, εὐθὺς καὶ ἐθαύμασεν ὁ ἀξιὰγαστος, Ἱερεὺς θαυμάσιε, καί τῷ Λατίνῳ οὕτως ἐλάλησεν, ὦ τολμηρέ νῦν φρὰσον μοι μῦρον πῶς ἔμαθες, τοῦτο εἶναι, είς ναὸν καὶ ἔφθασας , ὁ δέ πάντα σὺν φόβῳ ἐτράνωσεν.

Θεοτοκίον.

Νὰουσα πηγή, ἐγένου Πανὰμωμε ἀποκυήσασα, Ἰησοῦν τὸν Σὸν Υἱὸν, Σωτῆρα πὰντων Θεὸν καὶ Κύριον, κρουνούς ἀφθόνους οἰκτιρμῶν τὸν πελαγίζοντα, καὶ διδόντα πᾶσιν ἀπολύτρωσιν, τοῖς αἰτοῦσιν ἐκ Σοῦ τὴν συγχώρησιν.

Ἐξαποστειλὰριον. Γυναῖκες ἀκουτίσθητε.

Τοῦ Ἰωὰννου σήμερον, τὴν μνήμην ἑορτάζοντες, ταῖς παρακλὴσεσι τοὺτου, πρεσβεύομεν Ἐλεῆμον, λοιμοῦ, σεισμοῦ καὶ θλίψεων, τὸν ἡγεμόνα λύτρωσαι

καὶ ἅπαντας καταξίωσον, τῆς σῆς μακαριότητος, ἐπαπολαῦσαι ταχὲως.

Εἰς τούς Αἴνους, ἱστῶμεν στίχους η΄καὶ ψάλλομεν Στιχηρά Πρόσομοια τῆς ἑορτῆς δ΄ καὶ τοῦ Ἁγίου δ΄.

Προσόμοια τοῦ Ἁγίου. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμὰτων.

Ἀγγελικὰς ἐκτελέσαι χορείας ἔπρεπε, τὸν ὕμνον κατ'ἀξὶαν, Ἰωὰννου τοῦ πὰντων, πληρώσαντος δογμὰτων πλείστων ψυχάς, τῷ Πατρὶ καί τῷ Πνεύματι, θεολογοῦντος ἰσὸτιμον τὸν Υἱὸν, ὑπὲρ Οὗ παθεῖν ἠξίωται. (Δίς).

Ἡ λαμπροφὸρος σου μνὴμη παμμὰκαρ ἔφθασε, τὰ πλὴθη συγκαλοῦσα, Μολδοβλάχων ἐγεῖραι, ἐπὰξιον τὸν ὕμνον ὅτι δεινῶν, πειρασμῶν ἀπηλλάγησαν, διηνεκὲσι πρεσβείαις σου τὸν Θεὸν, ὑπὲρ πάντων ἱκετεύοντος.

Ἐκ Τραπεζοῦντος ὑπὰρχεις, ἀλλ' ὥσπερ ἥλιος, τὴν γῆν περιπολεύσας, Μολδοβλάχων νοτίσιν, ἐπὸτισας τὸν τόπον ἅπαντα νοῦν, προχοαῖς τοῦ σοῦ αἵματος, καταπιαίνων πρεσβείαις καὶ πρὸς Θεὸν, ἐκτελῶν θεομακὰριστε.

Δόξα. Ἦχος πλ. α΄.

Δεῦτε σὴμερον ὕμνον χαρμόσυνον, τῷ θαυμαστῷ Ἰωὰννη σαλπίσατε φιλομὰρτυρες, τῷ κατά Παῦλον μὲχρις αἵματος, τὸν Χριστὸν Θεόν κηρύξαντι, καί ἀπαὺστως τοὺς πιστοὺς νῦν ἀρωματίζοντι τοῖς θαύμασι· χαίροις τῆς Τραπεζοῦντος τὸ βλὰστημα καί

κὸσμον πὰντα περιέπων, προσευχῶν τῷ σκιὰσματι· χαίροις ὁ τὸ περίγειον μυρίσας τῇ μυροθήκῃ τῶν θαυμὰτων σου. Τὶς γὰρ προσέρχεταὶ σοι καὶ οὐ λαμβὰνει, ὡς ἀπὸ τινὸς πλουσίου καὶ παμπληθοῦς ταμείου, ταχέως τὸ αἴτημα; Ἀλλ'ὡς τῇ Τριὰδι παρεστώς, παμμὰκαρ ἱκὲτευε, τοῦ δοθῆναι ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Στίχοι·

*Μνήσθητι Χριστὲ, διὰ τοῦ Σοῦ Ἁγίου,*
*Βενιαμὶν ἁμαρτωλοῦ, δούλου Σου τοῦ ἀχρείου·*
*οἴκτειρον, σὺγγνωθι αὐτῷ, Κύριε, τῷ ἀθλίῳ,*
*πανθ' ὅσα Σοὶ ἐξήμαρτεν, ὅλῳ αὐτοῦ τῷ βίῳ.*
*Ῥῦσαι αὐτόν ὡς εὔσπλαγχνος, βασὰνων αἰωνίων,*
*καὶ κληρονόμον ποίησον, ἀγαθῶν οὐρανίων.*